UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Demosthenis Et Aeschinis, Principum Græciæ Oratorum Opera

### Demosthenes

### Aureliae Allobrogum, 1607

In adversus Timotheum de ære alieno

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1565

Visual Library

ἀλλ' ἀναισχυντεῖ. Ὀλυμπιόδωρος γὰρ οὑτοσί, ὦ ἄνδρες δικασταί, γυναῖκα μὲν ἀστὴν κατὰ τοὺς νόμους τοὺς ὑμετέρους οὐδεπώποτ' ἔγημεν, οὐδ' εἰσὶν αὐτῷ παῖδες, οὐδ' ἐγένοντο. ἑταίραν δὲ λυσάμενος ἔνδον ἔχει. καὶ αὕτη ἐστὶν ἡ λυμαινομένη ἅπαντας ἡμᾶς, καὶ ποιοῦσα τουτονὶ περαιτέρω μαίνεσθαι. πῶς γὰρ οὐ μαίνεται; ὅστις οἴεται δεῖν, ἃ μὲν ὡμολόγησε καὶ συνέθετο ἑκὼν πρὸς ἑκόντα, καὶ ὤμοσε, τούτων μὲν μηδ' ὁτιοῦν ποιεῖν· καὶ ταῦτ' ἐμοῦ σπουδάζοντος οὐχ ὑπὲρ ἐμαυτοῦ μόνον, ἀλλὰ καὶ ὑπὲρ τῆς τούτου ἀδελφῆς ὁμοπατρίας καὶ ὁμομητρίας, ἣ ἐμοὶ συνοικεῖ· καὶ ὑπὲρ τῆς τούτου ἀδελφιδῆς, θυγατρὸς δὲ ἐμῆς. αὗται γάρ εἰσιν αἱ ἀδικούμεναι, οὐχ ἧττον ἐμοῦ, ἀλλὰ καὶ μᾶλλον· πῶς γὰρ οὐκ ἀδικοῦνται, ἢ πῶς οὐ δεινὰ πάσχουσιν, ἐπειδὰν ὁρῶσι τὴν μὲν τούτου ἑταίραν περαιτέρω τοῦ καλῶς ἔχοντος, καὶ χρυσία πολλὰ ἔχουσαν, καὶ ἱμάτια καλά, καὶ ἐξόδους λαμπρὰς ἐξιοῦσαν, καὶ ὑβρίζουσαν ἐκ τῶν ἡμετέρων, αὗται δὲ καταδεεστέρως πρὸς ταῦτ' ἔχωσιν ἅπαντα; πῶς οὐκ ἐκεῖναι μᾶλλον ἔτι ἀδικοῦνται ἢ ἐγώ; οὗτος δὲ πῶς οὐ καταφανῶς μαίνεται καὶ παραφρονεῖ, τοιαῦτα περὶ αὑτοῦ βουλευόμενος; ἵνα δὲ μὴ φάσκῃ, ὦ ἄνδρες δικασταί, ἐπὶ διαβολῇ ταῦτα λέγειν με, τοῦ ἀγῶνος ἕνεκα τουτουΐ, μαρτυρίαν ὑμῖν ἀναγνώσεται τῶν τούτου οἰκείων καὶ ἐμοῦ.

Μαρτυρία.

Ὀλυμπιόδωρος μὲν τοίνυν τοιοῦτός ἐστιν ἄνθρωπος, οὐ μόνον ἄδικος, ἀλλὰ καὶ μελαγχολᾶν δοκῶν ἅπασι τοῖς οἰκείοις καὶ τοῖς γνωρίμοις, τῇ προαιρέσει τοῦ βίου. καὶ ὅπερ Σόλων ὁ νομοθέτης λέγει, παραφρονῶν, ὡς οὐδεὶς πώποτε παρεφρόνησεν ἀνθρώπων, γυναικὶ πειθόμενος πόρνῃ. καὶ ἄκυρά γε ταῦτα πάντα ἐνομοθέτησεν εἶναι ὁ Σόλων, ὅ,τι ἄν τις γυναικὶ πειθόμενος πράττῃ, ἄλλως τε καὶ τοιαύτῃ. περὶ μὲν οὖν τούτων καλῶς ὁ νομοθέτης ἐπεμελήθη, ἐγὼ δ' ὑμῶν δέομαι· καὶ οὐ μόνον ἐγώ, ἀλλὰ καὶ ἡ ἐμὴ γυνή, Ὀλυμπιοδώρου δὲ τουτουῒ ἀδελφή, καὶ ἡ θυγάτηρ ἡ ἐμή, Ὀλυμπιοδώρου δὲ τουτουῒ ἀδελφιδῆ, ἱκετεύομεν ὑμᾶς καὶ ἀντιβολοῦμεν, ὦ ἄνδρες δικασταί, ἅπαντες ὑμεῖς (νομίσατε γὰρ ἐκείνας ἐνθάδε παρεῖναι) μάλιστα μὲν τουτονὶ Ὀλυμπιόδωρον πείσατε μὴ ἀδικεῖν ἡμᾶς· ἐὰν δ' ἄρα μὴ θέλῃ πείθεσθαι, ὑμᾶς μεμνημένους ἁπάντων τῶν εἰρημένων ψηφίζεσθαι, ὅ,τι ἂν ὑμῖν δοκῇ βέλτιστον καὶ δικαιότατον εἶναι. καὶ ταῦτα ποιοῦντες, τά τε δίκαια γνώσεσθε, καὶ τὰ συμφέροντα ἡμῖν ἅπασιν, οὐχ ἥκιστα δὲ Ὀλυμπιοδώρῳ αὐτῷ τούτῳ.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ λόγου.

Τιμόθεον τὸν Ἀθηναῖον, ἄνδρα ἔνδοξον καὶ στρατηγήσαντα τῆς πόλεως, Ἀπολλόδωρος ἀπαιτεῖ χρέα, λέγων ὅτι Πασίωνι φίλῳ χρώμενος ὁ Τιμόθεος, ἔλαβε παρ' αὐτοῦ χρήματα. καὶ ὀφείλων ἐν τοῖς τραπεζιτικοῖς λόγοις ἐγγέγραπται· τὰ μὲν δὴ πάντα ὀφλήματα τέτταρα καταριθμεῖται. ἐφ' ἑκάστου δὲ καὶ τοὺς χρόνους καὶ τὰς αἰτίας, δι' ἃς ἐδανείσατο Τιμόθεος, ἀκριβῶς εἴρηκε. καὶ τὰς μὲν πλείστας ἀποδείξεις ἐκ τῶν καλουμένων ἀτέχνων πίστεων παρέσχηται, μαρτυριῶν καὶ προκλήσεων· τινὰς δὲ καὶ ἐντέχνους ἀπὸ τῶν εἰκότων. καὶ Ἀπολλόδωρος Τιμόθεον εἶναί φησι τὸν δανεισάμενον, καὶ τοῖς ὑπὸ Τιμοθέου συσταθεῖσι δοθῆναι τὸ ἀργύριον ἀπὸ τῆς τραπέζης· ὁ δὲ οὐχ ἑαυτόν, ἀλλ' ἐκείνους ὀφείλειν λέγει.

A ſed impudenter negat. Olympiodorus, Iudices, mulierem ciuem legibus veſtris nunquam duxit: ac ei liberi neque ſunt, neque nati fuerũt: ſed ſcortum domi redemptum habet. Illud eſt quod nos omnes exagitet, & iſtum ad maiorem inſaniam impellat. An verò non inſanit is, qui quæ promiſit & pepigit volens cum volente, & iureiurando confirmauit, eorũ nihil quicquam præſtandum cenſet? me præſertim non de meipſo duntaxat ſolicito: ſed & de iſtius ſorore germana & vterina, quàm ego in matrimonio habeo : & de iſtius nepte , mea filiola. Hæ quibus non minor fit quàm mihi iniuria: ſed maior enim ſunt , etiam. Nónne autem iniuria eis fit, & iniquè cum eis agitur, cùm videant iſtius meretricem vltrà quàm ſat eſt & decet, multùm habere auri, & veſtem ſplendidam, & ſplendidè atque inſolenter prodire in publicum, & de noſtro ſuperbire: ſe verò in his rebus omnibus eſſe tenuiores? nónne illis maior fit quàm mihi iniuria? Nónne verò iſte aperte inſanit & delirat, qui ita in ſemetipſum conſu-
B lat? Ne verò dicat, Iudices, per calumniam hęc à me dici, huius iudicij cauſa: teſtimonium vobis recitabitur cognatorum iſtius, & meorum.

## TESTIMONIVM.

Olympiodorus igitur talis homo eſt, non modò iniurius: ſed qui etiam inſanire videatur omnibus cognatis & familiaribus eo vitæ inſtituto: &, quod Solon etiam legiſlator dixit, ita delirans, vt nemo vnquam mortalium delirauit, qui mulieri meretrici pareret. Atque ea omnia irrita eſſe conſtituit idem Solõ quæ quis mulieri parens agat, præſertim tali. & hæc probè curauit legiſlator. Ego verò nos oro, neque ego ſolùm, ſed & vxor mea, Olympiodori ſoror, & filia mea, Olympiodori neptis, ſupplicamus vobis & obteſtamur, Iudices, omnes vos (putate enim illas adeſſe) in primis vt Olympiodoro perſuadeatis, ne iniuria nos afficiat. Sin parêre vobis noluerit: vti vos memores eorum quæ diximus omnium, id ſtatuatis,
C quod vobis videbitur optimum & iuſtiſſimum eſſe. Quæ ſi feceritis: & iuſta decernetis, & vtilia nobis omnibus, in primis autem ipſi Olympiodoro.

## ARGVMENTVM ORATIONIS contra Timotheum.

A Timotheo Athenienſi, viro claro, & imperatoria dignitate prædito, Apollodorus æs alienum repetit: dicens, Paſionis vſum amicitia Timotheum, ab eo pecuniam accepiſſe, & debitorem in menſariis rationibus eſſe inſcriptum. Debita autem omnino quatuor numerantur: atque in ſingulis & tempora, & cauſæ, quare mutuatus ſit Timotheus, accuratè exponuntur, & pleraque argumenta ex iis quæ nulla arte conſtare dicuntur probationibus, vt teſtimoniis, vt prouocationib. depromuntur. quædam etiam ex artificioſis, vt coniecturis. Atque Apollodorus Timotheum eſſe ait, qui mutuatus ſit: & iis quos Timotheus commendarit, datum eſſe argentum à menſa. Ille verò non ſe, ſed illos debere dicit.

reformidauit: eum me noluisse deferre iusiurandum, éstne vitio vertendum? Neque etiam diu est, cùm rursus pro concione iurauit, sibi non satis esse facultatum ad sustentationem senectutis, cùm tantas opes possideat. Adò inexplebili & sordido est ingenio. Ego verò è vobis quærere velim, nunquid irascamini mensariis, qui conturbant? Si igitur illis iure irascimini, vt qui vos iniuria afficiāt: nónne æquum est, vt iis qui vos nihil lædunt, opitulemini? Atqui propter tales homines mensæ conturbantur, qui quum in egestate mutuentur, & propter autoritatē fidem haberi sibi postulent: locupletati non reddūt, sed fraudant. Quarum igitur rerum testes vobis producere potui, ij mihi testimonium dixerunt. Præterea etiam argumentis vobis ostendi, Timotheum debere patri meo. Vos igitur oro, vt me iuuetis ad ea redigenda, quæ pater mihi reliquit.

## ARGVMENTVM ORATIONIS

Aduersus Polyclem, de sumptibus, finito naualis præfecturæ tempore, factis.

APollodorus Pasionis filius, cum in præfectura nauali præfinitum tempus strenuè præclaréque se gessisset: in eadem alio non paruo tempore perstitit, successore Polycle non statim ad nauem profecto. Qui postquā venerat, cùm nauem non statim suscepisset, sed simulasset, se collegam suum naualem expectare, atque interim Apollodorus naui præfuisset: sumptus eo tempore à se factos à Polycle postulat.

# DEMOSTHENIS ADVERSVS POLYCLEM ORATIO, de sumptibus finito naualis præfecturæ tempore factis, Hieronymo Vvolfio interprete.

Attentio à re, & docilitas.

TAlium controuersiarum, Iudices, eos etiam qui controuersiam cognituri sunt, vel in primis rationem habere decet. Neque enim, mea & Polyclis priuata duntaxat hæc causa est, sed & communis ciuitatis. Quarum enim rerum vt priuatæ sūt actiones, sic damna publica: eas nónne conuenit auditas à vobis rectè diiudicari? Nā si propter dissensionem de quopiam alio contractu, Polyclem in vestrum iudicium adduxissem: mea res & Polyclis ageretur. Nunc de nauali successione verba fiunt, & sumptibus, spacio quinque mensium, & sex dierum, finito præfecturæ tempore, factis: & de legibus, vtrum eæ ratæ sint nécne? Necessarium autem mihi esse videtur, ab initio rem omnem apud vos exponere. Quare per deos vos oro, Iudices, ne me putetis nugas agere, si prolixius narrauero sumptus, & acta, quàm & tempestiuè singula, & reipub. vtiliter administrata sint. Quòd si quis mentiri me potest ostendere, surgat, atque in mea aqua coarguat, quicquid me falsò apud vos dicere putarit. Sin vera erunt, & nemo mihi, nisi iste contradicet: rem iustam peto à vobis omnibus quicunque militastis, atque illic affuistis: tum vt ipsi recordemini, tum vt vestris assessoribus narretis studium meum: & ea quæ reipublicæ illis temporibus acciderunt, & rerum difficultates: quò inde cognoscatis, qualis ego sim in iussis vestris exequēdis. Qui autem domi mansistis, tacitè me vt audiatis, apud

A ἔδεισεν οὓς ἐπιώρκησε. πῶς οὐκ εἰκός ἐστιν ἐμὲ τούτῳ μὴ ἐθέλειν ὅρκον δοῦναι; οὐ πώ τοίνυν πολὺς χρόνος ἐστὶν, ἐξ ὅτου ἐν τῷ δήμῳ πάλιν διωμόσατο, μὴ εἶναι αὐτῷ ἐφόδια τῷ γήρᾳ ἱκανὰ, τοσαύτην οὐσίαν κεκτημένος· οὕτως ἄπληστος καὶ αἰσχροκερδὴς ὁ τρόπος αὐτοῦ ἐστίν. ἡδέως δ' ἂν ἔγωγε πυθοίμην ὑμῶν, εἰ ὀργίζεσθε τοῖς ἀνασκευασμένοις τῶν τραπεζιτῶν; εἰ γὰρ ἐκείνοις ὀργίζοισθε δικαίως, ὅτι ἀδικοῦσιν ὑμᾶς· πῶς οὐκ εἰκός ἐστιν ὑμᾶς βοηθεῖν τοῖς μηδὲν ἀδικοῦσι; καὶ μὴν διὰ τούτους τοὺς ἄνδρας αἱ τράπεζαι ἀνασκευάζονται, ὅταν ἀπορούμενοι μὲν δανείζωνται, καὶ οἴωνται δεῖν διὰ τὴν δόξαν πιστεύεσθαι. εὐπορήσαντες δὲ, μὴ ἀποδιδῶσιν, ἀλλ' ἀποστερῶσιν. ὅσων μὲν τοίνυν, ὦ ἄνδρες δικασταὶ, ἠδυνάμην ὑμῖν μάρτυρας παρασχέσθαι, μεμαρτυρήκασί μοι. ἔτι δὲ καὶ ἐκ τεκμηρίων δεδήλωκα ὑμῖν, ὡς ὀφείλει Τιμόθεος τἀργύριον τῷ πατρὶ τῷ ἐμῷ. δέομαι οὖν ὑμῶν συμπρᾶξαί μοι τοὺς ὀφείλοντας, ἅ μοι ὁ πατὴρ κατέλιπεν.

B

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΠΟΛΥΚΛΕΑ περὶ τοῦ ἐπιτριηραρχήματος λόγου.

Ἀπολλόδωρος ὁ Πασίωνος, τριηραρχήσας φιλοτίμως τὸν ὡρισμένον χρόνον, ἐπετριηράρχησεν ἕτερον οὐκ ὀλίγον, τοῦ διαδόχου τοῦ Πολυκλέους μὴ ἐλθόντος παραχρῆμα ἐπὶ τὴν ναῦν.* τούτου δὲ ἐπελθόντος, οὐ παραλαβόντος εὐθέως, ἀλλὰ σκηψαμένου περιμένειν τὸν συντριήραρχον.* τοσούτου δὲ χρόνου ἐπιτριηραρχοῦντος, ἀξιοῖ κομίσασθαι τὸ ἀνάλωμα παρὰ Πολυκλέους Ἀπολλόδωρος.

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΠΟΛΥΚΛΕΑ ΠΕΡΙ τοῦ ἐπιτριηραρχήματος λόγος.

C ΤΟῖς τοιούτοις τῶν ἀγώνων, ὦ ἄνδρες δικασταὶ, καὶ τοῖς διαγνωσομένοις, προσήκει μάλιστα προσέχειν τὸν νοῦν. οὐ γὰρ ἐμὸς καὶ Πολυκλέους ἴδιός ἐστιν ὁ ἀγὼν μόνον, ἀλλὰ καὶ τῆς πόλεως κοινός. ὧν γὰρ τὰ μὲν ἐγκλήματα ἴδιά ἐστιν, αἱ δὲ βλάβαι κοιναί· πῶς οὐχ ὑπὲρ τούτων εἰκός ἐστιν ἀκούσαντας ὑμᾶς ὀρθῶς διαγνῶναι; εἰ μὲν γὰρ περὶ ἄλλου τινὸς συμβολαίου ἐγὼ διαφερόμενος πρὸς Πολυκλέα εἰσῄειν εἰς ὑμᾶς, ἐμὸς ἂν ἦν καὶ Πολυκλέους ὁ ἀγών. νῦν δὲ, περὶ διαδοχῆς νεώς ἐστιν ὁ λόγος, καὶ ἐπιτριηραρχήματος πέντε μηνῶν καὶ ἓξ ἡμερῶν ἀνηλωμένου· καὶ περὶ τῶν νόμων, πότερα κύριοι εἰσὶν, ἢ οὔ; ἀναγκαῖον δή μοι δοκεῖ εἶναι, ἅπαντα ἐξ ἀρχῆς διηγήσασθαι πρὸς ὑμᾶς. καὶ πρὸς θεῶν, ὦ ἄνδρες δικασταὶ, δέομαι ὑμῶν, μή με ἡγήσησθε ἀδολεσχεῖν, ἐὰν διὰ μακροτέρων διηγῶμαι τά τε ἀναλώματα καὶ τὰς πράξεις, ὡς ἐν καιρῷ τε ἕκαστα καὶ χρήσιμα τῇ πόλει ἐδιακονήθησαν. εἰ μὲν γάρ τις ἔχει με ἐπιδεῖξαι ὡς ψεύδομαι· ἀναστὰς ἐν τῷ ἐμῷ ὕδατι ἐξελεγξάτω, ὅ,τι ἂν μὴ φῇ με ἀληθὲς λέγειν πρὸς ὑμᾶς. εἰ δ' ἔστιν ἀληθῆ, καὶ μηδεὶς ἄν μοι ἀντείποι ἄλλος ἢ οὗτος, δέομαι ὑμῶν ἁπάντων δικαίαν δέησιν· ὅσοι μὲν τῶν στρατιωτῶν ἐστὲ, καὶ παρῆτε ἐκεῖ, αὐτοί τε ἀναμνήσθητε, καὶ τοῖς παρακαθημένοις φράζετε τὴν τ' ἐμὴν προθυμίαν, καὶ τὰ συμβάντα ἐν τῷ τότε καιρῷ τῇ πόλει πράγματα, καὶ τὰς ἀπορίας· ἵνα ἐκ τούτων εἰδῆτε, ὁποῖός τίς εἰμι περὶ ἃ ἂν προστάξητε ὑμεῖς. ὅσοι δὲ αὐτοῦ ἐπεδημεῖτε, σιγῇ μου ἀκοῦσαι διηγουμένου ἅπαντα πρὸς

ὑμᾶς